**119.** Ἕωλος τῷ ὀνόματι (ὄντως) ἡ συνουσία ἐν πλευραῖς κειμένοιν τοῖν συζύγοιν· γίγνονται στερρῶς συνηρμοσμέναι αἱ περιπλοκαὶ οἷν τὰ σώματα ἐξίσωται.

**223.** Κάτω δέρμα ἐσχισμένον δυσοσμίας γέμον· τούτου τοῦ οὔρῳ μυδῶντος ἕνεκα μὴ ἀποκτείνῃς, ὦ βασιλεῦ, Βραχμᾶνας.

**224.** Εἰ γυνὴ μὲν κάτω κειμένη, ἐραστὴς δ᾽ἄνω κείμενος τέρπεται, ἰστέον ὅτι αὕτη ἡ συνήθης ἐστὶ συνουσία, φίλη τοῖς ἐν τῇ κώμῃ νεανίαις.

**372. (133.)** Ἄνδρα ἕτερον ἐν τῇ καρδίᾳ ἔχουσαι ἕτερον τοῖς ὀφθαλμοῖς παρακαλοῦσιν· τῷ μὲν τὴν ἀφροδισίαν νοτίδα ἀφιᾶσι, τὸν δὲ τῷ σώματι φιλοῦσιν.

**1105.** Καὶ ἔτι τοῦθ᾽ ἕτερον πασῶν τῶν γυναικῶν ἀπόρρητον, ὦ θεῖε τῶν σοφῶν· ἐπειδὰν γυνὴ καλὸν ἄνδρα ἴδῃ, τὸ αἰδοῖον αὐτῆς νοτίζεται.

**1291.** Ἄνω κειμένη εἰ ἡ γυνὴ τέρπει τὸν φιλοῦντα ἄνδρα, ἰστέον ὅτι αὕτη ἡ ἀνατετραμμένη ἐστὶ συνουσία, φίλη πᾶσι τοῖς ἐρωτικοῖς ἀνθρώποις.

**1917.** Τῶν μὲν ἐφόδιόν ἐστιν ἡ ἐπιστήμη, τῶν δὲ ἐφόδιον χρήματα, τῶν δὲ γυναικῶν, ἕως γοῦν νεότης πάρεστι, ἐφόδιόν ἐστιν ὁ κύσθος.

**2102. (830.)** Ὑπὸ τῆς σφοδρᾶς περιβολῆς οἱ μαστοὶ αὐτῆς καταπεπιεσμένοι εἰσίν, τὰ δὲ τρίχια ὀρθὰ ἕστηκε, τῇ δ᾽ ὑπερβολῇ τῆς ἐπιθυμίας τὸ καλὸν παραμηρίδιον καταρρεῖ· “μὴ μή, ὦ ἐμὸν ἀγλάισμα, μὴ ἄγαν ἐμέ —ἅλις“ οὕτω κεκλασμένῃ τῇ φωνῇ φθεγγομένη πότερον καταδεδάρθηκεν ἢ τέθνηκεν ἢ εἰς τὴν ἐμὴν καρδίαν εἰσδέδυκεν ἢ τέτηκεν;